εἶπε δ' Ἀθηναίῃ "τῶν Κύπριδος ἅψομαι ἔργων,
  τὴν Πάριδος κατὰ σοῦ ψῆφον ἐνεγκαμένη."

## XXXIX

ἡ τὸ πρὶν αὐχήσασα πολυχρύσοις ἐπ' ἐρασταῖς,
  ἡ νέμεσιν δεινὴν οὐχὶ κύσασα θεῶν,
μίσθια νῦν σπαθίοις πενιχροῖς πηνίσματα κρούει.
  ὀψέ γ' Ἀθηναίῃ Κύπριν ἐληίσατο.

## XL

λάθρῃ κοιμηθεῖσα Φιλαίνιον εἰς Ἀγαμήδους
  κόλπους τὴν φαιὴν εἰργάσατο χλανίδα.
αὐτὴ Κύπρις ἔριθος, ἐύκλωστον δὲ γυναικῶν
  νῆμα καὶ ἠλακάτην ἀργὸς ἔχοι τάλαρος.

## XLI

Τιμαρέτα πρὸ γάμοιο τὰ τύμπανα τάν τ' ἐρατεινάν
  σφαῖραν τόν τε κόμας ῥύτορα κεκρύφαλον
τάς τε κόρας, Λιμνᾶτι, κόρᾳ κόρα, ὡς ἐπιεικές,
  ἄνθετο καὶ τὰ κορᾶν ἐνδύματ' Ἀρτέμιδι.
Λατῴα, τὺ δὲ παιδὸς ὕπερ χέρα Τιμαρετείας
  θηκαμένα σῴζοις τὰν ὁσίαν ὁσίως.

## XLII

μῆτερ ἐμὴ Ῥείη, Φρυγίων θρέπτειρα λεόντων,
  Δίνδυμον ἧς μύσταις οὐκ ἀπάτητον ὄρος,